καὶ ἀναβήτω φθορὰ ζωῆς μου, κύριε ὁ θεός μου.
8 [8]ἐν τῷ ἐκλείπειν ἀπ' ἐμοῦ τὴν ψυχήν μου τοῦ κυρίου ἐμνήσθην,
καὶ ἔλθοι πρὸς σὲ ἡ προσευχή μου εἰς ναὸν ἅγιόν σου.
9 [9]φυλασσόμενοι μάταια καὶ ψευδῆ ἔλεος αὐτῶν ἐγκατέλιπον.
10 [10]ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογήσεως θύσω σοι·
ὅσα ηὐξάμην, ἀποδώσω σοι σωτηρίου τῷ κυρίῳ.
11 [11]καὶ προσετάγη τῷ κήτει, καὶ ἐξέβαλεν τὸν Ιωναν ἐπὶ τὴν ξηράν.
3 [1]Καὶ ἐγένετο λόγος κυρίου πρὸς Ιωναν ἐκ δευτέρου λέγων
2 [2]Ἀνάστηθι καὶ πορεύθητι εἰς Νινευη τὴν πόλιν τὴν μεγάλην καὶ
κήρυξον ἐν αὐτῇ κατὰ τὸ κήρυγμα τὸ ἔμπροσθεν, ὃ ἐγὼ ἐλάλησα
3 πρὸς σέ. [3]καὶ ἀνέστη Ιωνας καὶ ἐπορεύθη εἰς Νινευη, καθὼς ἐλά-
λησεν κύριος· ἡ δὲ Νινευη ἦν πόλις μεγάλη τῷ θεῷ ὡσεὶ πορείας
4 ὁδοῦ ἡμερῶν τριῶν. [4]καὶ ἤρξατο Ιωνας τοῦ εἰσελθεῖν εἰς τὴν πόλιν
ὡσεὶ πορείαν ἡμέρας μιᾶς καὶ ἐκήρυξεν καὶ εἶπεν Ἔτι τρεῖς ἡμέραι
5 καὶ Νινευη καταστραφήσεται. [5]καὶ ἐνεπίστευσαν οἱ ἄνδρες Νινευη
τῷ θεῷ καὶ ἐκήρυξαν νηστείαν καὶ ἐνεδύσαντο σάκκους ἀπὸ μεγάλου
6 αὐτῶν ἕως μικροῦ αὐτῶν. [6]καὶ ἤγγισεν ὁ λόγος πρὸς τὸν βασιλέα
τῆς Νινευη, καὶ ἐξανέστη ἀπὸ τοῦ θρόνου αὐτοῦ καὶ περιείλατο τὴν
στολὴν αὐτοῦ ἀφ' ἑαυτοῦ καὶ περιεβάλετο σάκκον καὶ ἐκάθισεν ἐπὶ
7 σποδοῦ. [7]καὶ ἐκηρύχθη καὶ ἐρρέθη ἐν τῇ Νινευη παρὰ τοῦ βασι-
λέως καὶ παρὰ τῶν μεγιστάνων αὐτοῦ λέγων Οἱ ἄνθρωποι καὶ τὰ
κτήνη καὶ οἱ βόες καὶ τὰ πρόβατα μὴ γευσάσθωσαν μηδὲν μηδὲ
8 νεμέσθωσαν μηδὲ ὕδωρ πιέτωσαν. [8]καὶ περιεβάλοντο σάκκους οἱ
ἄνθρωποι καὶ τὰ κτήνη, καὶ ἀνεβόησαν πρὸς τὸν θεὸν ἐκτενῶς·
καὶ ἀπέστρεψαν ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς καὶ
9 ἀπὸ τῆς ἀδικίας τῆς ἐν χερσὶν αὐτῶν λέγοντες [9]Τίς οἶδεν εἰ μετα-
νοήσει ὁ θεὸς καὶ ἀποστρέψει ἐξ ὀργῆς θυμοῦ αὐτοῦ καὶ οὐ μὴ
10 ἀπολώμεθα; [10]καὶ εἶδεν ὁ θεὸς τὰ ἔργα αὐτῶν, ὅτι ἀπέστρεψαν
ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν, καὶ μετενόησεν ὁ θεὸς ἐπὶ
τῇ κακίᾳ, ᾗ ἐλάλησεν τοῦ ποιῆσαι αὐτοῖς, καὶ οὐκ ἐποίησεν.

7[2] φθορα ζωης μου BS*W*†] εκ φθορας η ζωη μου AQ*LC*, εκ φθορας ζωης μου S^cV†, εκ φθορας την ζωην μου W^c†; post haec add. προς σε S^c*LC*, ante haec add. εις σε W^c† || 8[1] απ εμου / την ψ. μου] tr. AQ | 8[2] προσευχη] προσ > BS*† || 9 ελεον S^c*LC* || 10[1] αινεσεως] δεησ. W | 10[2] σοι > A | σωτηριου BS*] εις σωτηριον μου AQS^c, εις σωτηριον *LC*; εις σωτηριαν μου W: = Od. 6 10 || 11 προσεταγη] + απο κυριου S^c*C*† (in *O* sub ※), προσεταξε(ν) κυριος *L*

3 2 και 1[0] > BS* | νινευην S† hic, non in 3; cf. 6 Soph. 2 13 || 3 καθως AQW*L*] καθα BS*C* || 4 εισελθειν BS*W†] εισπορευεσθαι rel. | πορ ε)ιαν B SW*L*] -ας *C*†, -ας οδου AQ || 5 ενεπιστ.] εν > AS^cW^c*LC* | μεγαλου ... μικρου BS*W*C*] tr. AQS^c*L* | αυτων paenult. > AQ || 6 νινευης S*† hic, non in 4 11; cf. 3 2 || 7 γευεσθωσαν A†, γευσεσθ. (sic) S*† | νεμεσθ.] + μηδεν S*† | πινετωσαν S*L*† || 8 απεστρεψαν] αν- QS^c*LC*†, -ψεν A*L* || 10 τη κακια η] τα κακα α AW